## 67.

# ΠΛΑΤΩΝΙΚΑ ΖΗΤΗΜΑΤΑ C

(Plan. 38)

### ΖΗΤΗΜΑ Α′.

1. ‘Τί δήποτε τὸν Σωκράτην ὁ θεὸς μαιοῦσθαι μὲν ἐκέλευσεν ἑτέρους, αὐτὸν δὲ γεννᾶν ἀπεκώλυσεν, ὡς ἐν Θεαιτήτῳ (150 c) λέγεται;’ Οὐ γὰρ εἰρωνευόμενός γε καὶ παίζων προσεχρήσατ’ ἂν τῷ τοῦ θεοῦ ὀνόματι. καὶ ἄλλως ἐν τῷ Θεαιτήτῳ πολλὰ μεγάλαυχα καὶ σοβαρὰ D Σωκράτει περιτέθεικεν, ὧν καὶ ταῦτ’ ἐστί (151 c)· ‘πολλοὶ γὰρ δή, ὦ θαυμάσιε, πρός με οὕτω διετέθησαν, ὥστ’ ἀτεχνῶς δάκνειν ⟨ἕτοιμοι εἶναι⟩, ἐπειδάν τινα λῆρον αὐτῶν ἀφαιρῶμαι· καὶ οὐκ οἴονταί με εὐνοίᾳ τοῦτο ποιεῖν, πόρρω ὄντες τοῦ εἰδέναι ὅτι οὐδεὶς θεὸς δύσνους ἀνθρώ-



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id403549779/119 UNIVERSITÄT LEIPZIG